# Η ΔΩΡΙΚΗ ΦΑΡΣΑ ΩΣ ΜΟΡΦΗ ΛΑΪΚΟΥ ΘΕΑΤΡΟΥ

## Α. Οι κωμικές παραστάσεις στη Σπάρτη.

### Α.1. Αθήναιος, *Δειπνοσοφισταί* 14, 621D–F:

**2.** Athen. XIV p. 621 D παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις τρόπος παλαιός, ὥς φηςι Cωςίβιος (595 F 7 Jac.), οὐκ ἄγαν cπουδαῖος, ἅτε δὴ κἀν τούτοις τὸ λιτὸν τῆς Cπάρτης μεταδιωκούςης. ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῆι λέξει κλέπτοντάς τινας ὀπώραν ἢ ξενικὸν ἰατρὸν τοιαυτὶ λέγοντα, ὡς Ἄλεξις ἐν Μανδραγοριζομένηι διὰ τούτων παρίστηςιν (fr. 146)·

ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπηι "τρύβλιον τούτωι δότε
πτιςάνης ἕωθεν", καταφρονοῦμεν εὐθέως·
ἂν δὲ "πτιςάνας" καὶ "τρούβλιον", θαυμάζομεν.
καὶ πάλιν ἐὰν μὲν "τευτλίον", παρείδομεν·
ἐὰν δὲ "cεῦτλον", ἀςμένως ἠκούςαμεν,
ὡς οὐ τὸ cεῦτλον ταὐτὸν ὂν τῶι τευτλίωι

ἐκαλοῦντο δ' οἱ μετιόντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωςι δικηλιςταί, ὡς ἄν τις cκευοποιοὺς εἴπηι καὶ μιμητάς. τοῦ δὲ εἴδους τῶν δικηλιςτῶν πολλαὶ κατὰ τόπους εἰςὶ προςηγορίαι· Cικυώνιοι μὲν γὰρ φαλλοφόρους αὐτοὺς καλοῦςιν, ἄλλοι δ' αὐτοκαβδάλους, οἱ δὲ φλύακας, ὡς Ἰταλοί, cοφιςτὰς δὲ οἱ πολλοί, Θηβαῖοι δὲ καὶ τὰ πολλὰ ἰδίως ὀνομάζειν εἰωθότες ἐθελοντάς. hinc Eust. in Il. p. 884,23

### Α.2. Σούδα (σ 859, δ 1098) και Ησύχιος (δ 1821):

**3.** Sud. c 859 de Sosibii opere Περὶ τῶν μιμηλῶν (⟨τῶν⟩? Jacoby III b ii p. 404) ἐν Λακωνικῆι ἱςτορουμένων παλαιῶν, 595 T 1 Jac. (codd. AGFVM) ἐν τούτοις δὲ ἱςτορεῖ καὶ τοῦτο, ὅτι εἶδός τι κωμωιδίας ἐςτὶ καλούμενον δικηλιςτῶν (δεικ- G, M ex corr.) καὶ μιμηλῶν. δ 1098 δικηλιςτῶν καὶ μιμηλῶν· εἶδός ἐςτι κωμωιδίας, ὥς φηςι Cωςίβιος ὁ Λάκων

**4.** Hesych. δ 1821 δίκηλον· φάςμα. ὄψις. εἴδωλον. μίμημα (cf. Tim. lex. Plat. ed. Ruhnk.$^2$ p. 85, Theod. ad Phot. δ 101). ὅθεν καὶ ὁ μιμολόγος παρὰ Λάκωςι δικηλίκτας (δίκην λίκτας cod., corr. Mus.). δ 453 = Et. magn. p. 260,42 δεικηλιςταί (δεικελ- codd., corr. Valesius)· μιμηταὶ παρὰ Λάκωςι. Schol. Apoll. Rhod. I 745/6 a δικηλιςτὰς (-ίτας cod., corr. Keil) δὲ τοὺς cκωπτικοὺς τοὺς ἐν τῶι cκώπτειν ἀπομιμουμένους τινὰς ἄλλους

### Α.3. Πλούταρχος, *Αγησίλαος* 21.8

**5.** Plut. vit. Ages. 21,8 (apophth. Lac., Ages. 57 p. 212 E) Καλλιππίδης ὁ τῶν τραγωιδιῶν ὑποκριτὴς (274 O'Conn. = 1348 Stephan.) ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλληςι καὶ cπουδαζόμενος ὑπὸ πάντων ... εἶπεν „οὐκ ἐπιγινώςκεις με, ὦ βαςιλεῦ;" κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν εἶπεν· „ἀλλ' οὐ τύγ' ἐςςὶ Καλλιππίδας ὁ δεικηλίκτας;" οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦςι. tamquam proverbium explicat Apost. XIII 66 (ἐπὶ μίμων καὶ ὑποκριτῶν cοβαρῶν)

### Α.4. Πλούταρχος, *Λυκούργος* 17.3–5

οὐ μὴν ἀλλὰ καὶ παιδονόμος ἐκ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ἐτάττετο, καὶ κατ᾽ ἀγέλας αὐτοὶ προΐσταντο τῶν λεγομένων εἰρένων ἀεὶ τὸν σωφρονέστατον καὶ μαχιμώτατον. εἴρενας δὲ καλοῦσι τοὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας (...) οὗτος οὖν ὁ εἴρην, εἴκοσι ἔτη γεγονώς, ἄρχει τε τῶν ὑποτεταγμένων ἐν ταῖς μάχαις, καὶ κατ᾽ οἶκον ὑπηρέταις χρῆται πρὸς τὸ δεῖπνον. ἐπιτάσσει δὲ τοῖς μὲν ἁδροῖς ξύλα φέρειν, τοῖς δὲ μικροτέροις λάχανα, καὶ φέρουσι κλέπτοντες, οἱ μὲν ἐπὶ τοὺς κήπους βαδίζοντες, οἱ δὲ εἰς τὰ τῶν ἀνδρῶν συσσίτια παρεισρέοντες εὖ μάλα πανούργως καὶ πεφυλαγμένως. ἂν δ᾽ ἁλῷ, πολλὰς λαμβάνει πληγὰς τῇ μάστιγι, ῥᾳθύμως δοκῶν κλέπτειν καὶ ἀτέχνως. κλέπτουσι δὲ καὶ τῶν σιτίων ὅ τι ἂν δύνωνται, μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι τοῖς καθεύδουσιν ἢ ῥᾳθύμως φυλάττουσι. τῷ δὲ ἁλόντι ζημία πληγαὶ καὶ τὸ πεινῆν. γλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι᾽ αὐτῶν ἀμυνόμενοι τὴν ἔνδειαν ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν.

### Α.5. Επίχαρμος απ. 239

Zenob. Ath. III 133 (L = 'Plut.' I 95, CPG I p. 335; lemma tantum in M) = vulg. V 84 **Σικελὸς ὀμφακίζεται· ἐπὶ τῶν τὰ μηδενὸς ἄξια κλεπτόντων** (deficit Zen. Ath.) **λέγεται ἡ παροιμία. μετ⟨εν⟩ήνεκται δὲ ἀπὸ τῶν Σικελῶν, τὰς ἀβρώτους ὄμφακας κλεπτόντων. μέμνηται ταύτης Ἐπίχαρμος**

### Α.6. Αριστοτέλης, *Ηθικά Νικομάχεια* 1108a 14–24, 1127a 20 κ.εξ.:

ῥητέον οὖν καὶ περὶ τούτων, ἵνα μᾶλλον κατίδωμεν ὅτι ἐν πᾶσιν ἡ μεσότης ἐπαινετόν, τὰ δ᾽ ἄκρα οὔτ᾽ ἐπαινετὰ οὔτ᾽ ὀρθὰ ἀλλὰ ψεκτά. (...) περὶ μὲν οὖν τὸ ἀληθὲς ὁ μὲν μέσος ἀληθής τις καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω, ἡ δὲ προσποίησις ἡ μὲν ἐπὶ τὸ μεῖζον ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζών, ἡ δ᾽ ἐπὶ τὸ ἔλαττον εἰρωνεία καὶ εἴρων ὁ ἔχων. (...) δοκεῖ δὴ ὁ μὲν ἀλαζὼν προσποιητικὸς τῶν ἐνδόξων εἶναι καὶ μὴ ὑπαρχόντων καὶ μειζόνων ἢ ὑπάρχει, ὁ δὲ εἴρων ἀνάπαλιν ἀρνεῖσθαι τὰ ὑπάρχοντα ἢ ἐλάττω ποιεῖν.

## Β. Η μεγαρική κωμωδία

### Β.1. Αριστοτέλης, *Περί ποιητικής* 1448a 30–1448b 2:

1. Arist. poet. 3 p. $1448^{a}$ 30 **ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς (τῆς μὲν γὰρ κωμῳδίας οἱ Μεγαρεῖς οἵ τε ἐνταῦθα ὡς ἐπὶ τῆς παρ᾽ αὐτοῖς δημοκρατίας γενομένης καὶ οἱ ἐκ Σικελίας, ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητὴς πολλῶι πρότερος ὢν Χιωνίδου καὶ Μάγνητος, καὶ τῆς τραγῳδίας ἔνιοι τῶν ἐν Πελοποννήσωι) ποιούμενοι τὰ ὀνόματα σημεῖον· αὐτοὶ μὲν γὰρ κώμας τὰς περιοικίδας καλεῖν φασιν, Ἀθηναίους δὲ δήμους, ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας ἀλλὰ τῆι κατὰ κώμας πλάνηι ἀτιμαζομένους ἐκ τοῦ ἄστεως, καὶ τὸ ποιεῖν αὐτοὶ μὲν δρᾶν, Ἀθηναίους δὲ πράττειν προσαγορεύειν**

### Β.2. Αριστοφάνης, *Σφήκες* 54–66:

φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγ᾽ ἄτθ᾽ ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί,
μηδὲν παρ᾽ ἡμῶν προσδοκᾶν λίαν μέγα,
μηδ᾽ αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ᾽ οὔτε κάρυ᾽ ἐκ φορμίδος
δούλω διαρριπτοῦντε τοῖς θεωμένοις,
οὔθ᾽ Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
οὐδ᾽ αὖθις ἀνασελγαινόμενος Εὐριπίδης·
οὐδ᾽ εἰ Κλέων γ᾽ ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ᾽ ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.

B.3. Εύπολις απ. 261:

**(Α.) τὸ δεῖν', ἀκούεις; (Β.) Ἡράκλεις, τοῦτ' ἔστι σοι**
**τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν καὶ σφόδρα**
**ψυχρόν. † γελᾶς ὁρᾶις τὰ παιδία**

B.4. Εκφαντίδης απ. 3:

Μεγαρικῆς κωμωιδίας † ἆσμα δίειμαι †
αἰσχυνόμενος τὸ δρᾶμα Μεγαρικὸν ποιεῖν

Anon. in Arist. eth. Nic. IV 6, CAG XX p. 186,12 Heylb. (post Eup. fr. 261) διασύρονται γὰρ οἱ Μεγαρεῖς ἐν κωμωιδίαι, ἐπεὶ καὶ ἀντιποιοῦνται αὐτῆς ὡς παρ' αὐτοῖς πρῶτον εὑρεθείσης, εἴ γε καὶ Σουσαρίων ὁ κατάρξας κωμωιδίας Μεγαρεύς. ὡς φορτικοὶ τοίνυν καὶ ψυχροὶ διαβάλλονται . . . καὶ γοῦν Ἀριστοφάνης ἐπισκώπτων αὐτοὺς λέγει που (Vesp. 57)· μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον (-ημένον cod.). ἀλλὰ καὶ Ἐκφαντίδης παλαιότατος ποιητὴς τῶν ἀρχαίων (τῆς ἀρχαίας Diels) φησί· Μεγαρικῆς —— ποιεῖν. δείκνυται γὰρ ἐκ πάντων τούτων ὅτι Μεγαρεῖς τῆς κωμωιδίας εὑρεταί. de fonte (Adrasto Aphrodisiensi) vid. Moraux, D. Aristotelismus bei d. Gr. II (1984) p. 323–330
**1** Μεγ. κωμ. ἆσμα δίειμαι cod.: ⟨καὶ⟩ Μεγ. κωμ. μεθίεμαι Bywater RhM 37 (1882) 633, 'quod non sufficit. fortasse verba φησὶ ⟨περὶ τῆς⟩ Μεγ. κωμ. scholiastae sunt, tum velut ταῦτ' ἐγὼ παρίεμαι' Kaibel. verbum δίεμαι latere susp. Schmid I 4 p. 12[3] quae Meineke, Bergk (Rel. p. 359), Hermann (ap. Mein. V 1 p. 15), Kock, alii αἰσχύνομαι vel ᾐσχυνόμην v. 2 traditum esse opinati coniecerunt non amplius afferre attinet

B.5. Θεόπομπος απ. 3:

τὴν οἰκίαν γὰρ ηὗρον εἰσελθὼν ὅλην
κίστην γεγονυῖαν φαρμακοπώλου Μεγαρικοῦ

Poll. X 180 (codd. FS, ABCL) κίσται δ' οὐ μόνον ὀψοφόροι, οὐδ' ἄλλως ἀγγεῖα εἰς ἐσθήτων ἀπόθεσιν, ἀλλὰ καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο ... ὥσπερ που (ὥ. που om. A) καὶ Θεόπομπος ἐν Ἀλθαίαι (ἀλφαία AB)· τὴν —— Μεγ.

B.6. Αδέσποτο Κωμικό απ. 1062:

"τί οὖν ἐμοὶ τῶν σ[ῶν μέ]λει;" φαίη τις ἂν
ὑμῶν. ἐγὼ δ' ἐρῶ [τ]ὸ Σοφοκλέους ἔπος·
"πέπονθα δεινά." πάντα μοι γέρων Κρ[όνος
τὰ παιδί' ἐκπίνει τε καὶ κατεσθίει,
ἐμοὶ δὲ τούτων προσδίδωσιν οὐδὲ ἕν,
ἀλλ' αὐτὸς ἔρδει χειρὶ καὶ Μεγαράδ' ἄγων
ὅ τι ἂν τέκω 'γὼ τοῦτο πωλῶν ἐσθίει.
δέδοικε γὰρ τὸν χρησμὸν ὥσπερ κυν[
ἔχρησε γὰρ Κρόνωι ποθ' Ἀπόλλων δραχ[μήν,
κᾆιτ' οὐκ ἀπέλαβε. ταῦτα δὴ θυμὸν πνέ[ων
ἑτέραν ἔχρησε[ν οὐκέτι] δρα[χ]μῶ[ν ἀ]ξ[ίαν,
οὐ σκευάρια, μὰ τὸν Δί', οὐδὲ χρήματα,
ἐκ τῆς βασιλείας δ' ἐκπεσεῖν ὑπὸ π[αιδίου.
τοῦ]τ' οὖν δεδοικὼς πάντα καταπί[νει τέκνα

**B.7. Αριστοφάνης, *Αχαρνής* 729–817:**

ΜΕΓΑΡΕΥΣ:
ἀγορὰ ’ν Ἀθάναις, χαῖρε, Μεγαρεῦσιν φίλα.
ἐπόθουν τυ, ναὶ τὸν φίλιον, ᾇπερ ματέρα.
ἀλλ’, ὦ πόνηρα κορίχι’ ἀθλίου πατρός,
ἄμβατε ποττὰν μᾶδδαν, αἴ χ’ εὕρητέ πᾳ.
ἀκούετε δή, ποτέχετ’ ἐμὶν τὰν γαστέρα·
πότερα πεπρᾶσθαι χρῄδδετ’ ἢ πεινῆν κακῶς;
ΚΟΡΑ: πεπρᾶσθαι πεπρᾶσθαι.
Μ. ἐγώνγα καὐτός φαμι. τίς δ’ οὕτως ἄνους
ὃς ὑμέ κα πρίαιτο φανερὰν ζαμίαν;
ἀλλ’ ἔστι γάρ μοι Μεγαρικά τις μαχανά,
χοίρους γὰρ ὑμὲ σκευάσας φασῶ φέρειν.
περίθεσθε τάσδε τὰς ὁπλὰς τὼς χοιρία.
ὅπως δὲ δοξεῖτ’ ἦμεν ἐξ ἀγαθᾶς ὑός·
ὡς ναὶ τὸν Ἑρμᾶν, αἴπερ ἵξεῖτ’ οἴκαδις
ἄπρατα, πειρασεῖσθε τᾶς λιμοῦ κακῶς.
ἀλλ’ ἀμφίθεσθε καὶ ταδὶ τὰ ῥυγχία,
κἤπειτεν ἐς τὸν σάκκον ὧδ’ ἐσβαίνετε.
ὅπως δὲ γρυλλιξεῖτε καὶ κοΐξετε
χἠσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
ἐγὼν δὲ καρυξῶ Δικαιόπολιν ὅπᾳ·
Δικαιόπολι, ἦ λῇς πρίασθαι χοιρία;
ΔΙ. τί; ἀνὴρ Μεγαρικός; Μ. ἀγορασοῦντες ἵκομες.
ΔΙ. πῶς ἔχετε; Μ. διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ.
ΔΙ. ἀλλ’ ἡδύ τοι νὴ τὸν Δί’, ἢν αὐλὸς παρῇ.
τί δ’ ἄλλο πράττεθ’ οἱ Μεγαρῆς νῦν; Μ. οἷα δή.
ὄκα μὲν ἐγὼν τηνῶθεν ἐνεπορευόμαν,
τὤνδρες πρόβουλοι τοῦτ’ ἔπρασσον τᾷ πόλι,
ὅπως τάχιστα καὶ κάκιστ’ ἀπολοίμεθα.
ΔΙ. αὐτίκ’ ἄρ’ ἀπαλλάξεσθε πραγμάτων.
Μ. σά μάν;
ΔΙ. τί δ’ ἄλλο Μεγαροῖ; πῶς ὁ σῖτος ὤνιος;
Μ. παρ’ ἁμὶ πολυτίματος ᾇπερ τοὶ θεοί.
ΔΙ. ἅλας οὖν φέρεις; Μ. οὐχ ὑμὲς αὐτᾶν ἄρχετε;
ΔΙ. οὐδὲ σκόροδα; Μ. ποῖα σκόροδ’; ὑμὲς τῶν ἀεί,
ὄκκ’ ἐσβάλητε, τὼς ἀρουραῖοι μύες,
πάσσακι τὰς ἄγλιθας ἐξορύσσετε.
ΔΙ. τί δαὶ φέρεις; Μ. χοίρως ἐγώνγα μυστικάς.
ΔΙ. καλῶς λέγεις· ἐπίδειξον. Μ. ἀλλὰ μὰν καλαί.
ἄντεινον, αἰ λῇς· ὡς παχεῖα καὶ καλά.
ΔΙ. τουτὶ τί ἦν τὸ πρᾶγμα; Μ. χοῖρος ναὶ Δία.
ΔΙ. τί λέγεις σύ; ποδαπὴ δὴ ’στι χοῖρος;
Μ. Μεγαρικά.
ἢ οὐ χοῖρός ἐσθ’ ἅδ’; ΔΙ. οὐκ ἔμοιγε φαίνεται.
Μ. οὐ δεινά; θᾶσθε τοῦδε τᾶς ἀπιστίας·
οὔ φατι τάνδε χοῖρον ἦμεν. ἀλλὰ μάν,
αἰ λῇς, περίδου μοι περὶ θυμιτιδᾶν ἁλῶν,
αἰ μή ’στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
ΔΙ. ἀλλ’ ἔστιν ἀνθρώπου γε. Μ. ναὶ τὸν Διοκλέα
ἐμά γα. τὺ δέ νιν εἶμεναι τίνος δοκεῖς;
ἦ λῇς ἀκοῦσαι φθεγγομένας; ΔΙ. νὴ τοὺς θεοὺς
ἔγωγε. Μ. φώνει δὴ τὺ ταχέως χοιρίον.
οὐ χρῆσθα; σιγῇς ὦ κάκιστ’ ἀπολουμένα;
πάλιν τυ ἀποισῶ, ναὶ τὸν Ἑρμᾶν, οἴκαδις.
ΚΟΡΗ κοΐ κοΐ.
Μ. αὕτα ’στὶ χοῖρος; ΔΙ. νῦν γε χοῖρος φαίνεται.
ἀτὰρ ἐκτραφείς γε κύσθος ἔσται. Μ. πέντ’ ἐτῶν,
σάφ’ ἴσθι, ποττὰν ματέρ’ εἰκασθήσεται.
ΔΙ. ἀλλ’ οὐδὲ θύσιμός ἐστιν αὑτηγί. Μ. σά μάν;
πᾷ δ’ οὐχὶ θύσιμός ἐστι; ΔΙ. κέρκον οὐκ ἔχει.
ΜΕ. νεαρὰ γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
ἀλλ’ αἰ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά.
ΔΙ. ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θἠτέρᾳ.
ΜΕ. ὁμοματρία γάρ ἐστι κἠκ τωὐτῶ πατρός.
αἰ δ’ ἂν παχυνθῇ κἀναχνοανθῇ τριχί,
κάλλιστος ἔσται χοῖρος Ἀφροδίτᾳ θύειν.
ΔΙ. ἀλλ’ οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται.
ΜΕ. οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
καὶ γίνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
ἅδιστον ἂν τὸν ὀδελὸν ἀμπεπαρμένον.
ΔΙ. ἤδη δ’ ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;
ΜΕ. ναὶ τὸν Ποτειδᾶ καί κ’ ἄνις γα τῶ πατρός.
ΔΙ. τί δ’ ἐσθίει μάλιστα; ΜΕ. πάνθ’ ἅ κα διδῷς.
αὐτὸς δ’ ἐρώτη. ΔΙ. χοῖρε χοῖρε. ΚΟ. κοΐ κοΐ.
ΔΙ. τρώγοις ἂν ἐρεβίνθους; ΚΟ. κοΐ κοΐ κοΐ.
ΔΙ. τί δαί; φιβάλεως ἰσχάδας; ΚΟ. κοΐ κοΐ.
ΔΙ. τί δαὶ σύ; τρώγοις ἄν; ΚΟ. κοΐ κοΐ κοΐ.
ΔΙ. ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.
ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων
τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί,
οἷον ῥοθιάζουσ’, ὦ πολυτίμηθ’ Ἡράκλεις.
ποδαπὰ τὰ θηρί’; ὡς Τραγασαῖα φαίνεται.
ΜΕ. ἀλλ’ οὔτι πάσας κατέτραγον τὰς ἰσχάδας.
ἐγὼν γὰρ αὐτᾶν τάνδε μίαν ἀνειλόμαν.
ΔΙ. νὴ τὸν Δί’, ἀστείω γε τὼ βοσκήματε·
πόσου πρίωμαί σοι τὰ χοιρίδια; λέγε.
Μ. τὸ μὲν ἅτερον τούτων σκορόδων τροπαλίδος,
τὸ δ’ ἅτερον, αἰ λῇς, χοίνικος μόνας ἁλῶν.
ΔΙ. ὠνήσομαί σοι· περίμεν’ αὐτοῦ. Μ. ταῦτα δή.
Ἑρμᾶ ’μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ’ ἀποδόσθαι τάν τ’ ἐμωυτῶ ματέρα.

### Γ. Μαίσων, ο Μεγαρίτης «Καραγκιόζης»

**Γ.1. Αθήναιος 14, 659A–C (= Αριστοφάνης ο Βυζάντιος, απ. 363 Slater):**

**11.** Athen. XIV p. 659 A–C ἐκάλουν οἱ παλαιοὶ τὸν μὲν πολιτικὸν μάγειρον Μαίcωνα, τὸν δ' ἐκτόπιον Τέττιγα. Χρύcιππος δ' ὁ φιλόcοφος (SVF III p. 200,28 Arn.) τὸν Μαίcωνα ἀπὸ τοῦ μαcᾶcθαι οἴεται κεκλῆcθαι, οἷον τὸν ἀμαθῆ καὶ πρὸc γαcτέρα νενευκότα, ἀγνοῶν ὅτι Μαίcων γέγονεν κωμωιδίαc ὑποκρίτηc (325 O'Conn. = 1594 Stephan.) Μεγαρεὺc τὸ γένοc, ὃc καὶ τὸ προcωπεῖον εὗρε τὸ ἀπ' αὐτοῦ καλούμενον Μαίcωνα, ὡc Ἀριcτοφάνηc φηcὶν ὁ Βυζάντιοc ἐν τῶι Περὶ προcώπων (fr. 363 Sl.), εὑρεῖν αὐτὸν φάcκων καὶ τὸ τοῦ θεράποντοc πρόcωπον καὶ τὸ τοῦ μαγείρου. καὶ εἰκότωc καὶ τὰ τούτοιc πρέποντα cκώμματα καλεῖται Μαιcωνικά ... τὸν δὲ Μαίcωνα (μάcωνα cod.) Πολέμων ἐν τοῖc πρὸc Τίμαιον (fr. 46 Pr.) ἐκ τῶν ἐν Cικελίαι φηcὶν εἶναι Μεγάρων (-ρέων cod., corr. Schweigh.) καὶ οὐκ ἐκ τῶν Νιcαίων. hinc Eust. in Od. p. 1751,55

**Γ.2. Sextus Pompeius Festus, *De verborum significatu*, p. 118 Lindsay:**

**12.** Fest. p. 118,23 L. *Maeson persona comica appellatur, aut coci, aut nautae, aut eius generis. dici* (var. lect. *dicitur*) *ab inventore eius Maesone comoedo, ut ait Aristophanes grammaticus* (fr. 363 Sl.)

**Γ.3. Χρύσιππος, *Stoicorum Veterum Fragmenta*,**
**εκδ. H. von Arnim, τόμ. III, σελ. 200 (απ. 13):**

fr. 13: Athenaeus Deipnosoph. XIV p. 659a. *ἐκάλουν δ' οἱ παλαιοὶ τὸν μὲν πολιτικὸν μάγειρον Μαίσωνα τὸν δ' ἐκτόπιον Τέττιγα. Χρύσιππος δ' ὁ φιλόσοφος τὸν Μαίσωνα ἀπὸ τοῦ μασᾶσθαι οἴεται κεκλῆσθαι, οἷον τὸν ἀμαθῆ καὶ πρὸς γαστέρα νενευκότα, ἀγνοῶν ὅτι Μαίσων γέγονε κωμῳδίας ὑποκριτὴς Μεγαρεὺς τὸ γένος, ὃς καὶ τὸ προσωπεῖον εὗρε τὸ ἀπ' αὐτοῦ καλούμενον μαίσωνα, ὡς Ἀριστοφάνης φησὶν ὁ Βυζάντιος ἐν τῷ περὶ προσώπων.*

**Γ.4. Ησύχιος μ 96 και τ 671**

**13.** Hesych. μ 96 Μαίcων· μάγειρον (-ιον cod.) , ἄλλοι βορόν, ἀπὸ τοῦ μαcᾶcθαι (μαcc- cod.). τ 671 τέττιξ ... παρὰ Ἀττικοῖc οἱ τῶν μαγείρων ὑπηρέται ξένοι, οἱ δὲ ἐντόπιοι Μαίcωνεc. vid. etiam μ 1759 (fr. adesp. 392)

**Γ.5. Φιλόδημος, *Περί ρητορικής* 4, στήλ. VIIa 12–17 (εκδ. Sudhaus):**

*π]ροχείρου καχε[ξ]ία[ς]. Ὀ-*
*κνῶ γὰ]ρ εἰπεῖν, ὅτι τὸν τρό-*
*πον] τοῦτον, ὃν διὰ τῶν*
*πα]ραδειγμάτων οὗτος*
*ὑπέδειξεν, [ὁ σ]καπανεὺς*
*καὶ Μα[ίσ]ων μόνος λαλεῖ,*

## Δ. Οι ηθολογικές σπουδές του Επίχαρμου

### Δ.1. Επίχαρμος, *Ἐλπὶς ἢ Πλοῦτος*, απ. 31–34:

**31** (34)

ἀλλ' ἄλλος ὧδ' ἔcτειχε {ὅδε} τοῦδε κατὰ πόδας,
τὸν ῥαιδίνωc λαψῆι τὺ κὰτ τὸ νῦν γά θην
εὔωνον ἀείcιτον· ἀλλ' ἔμπας ὅδε
ἄμυcτιν ὥcπερ κύλικα πίνει τὸν βίον

Athen. VI p. 235 E τὸν δὲ νῦν λεγόμενον π α ρ ά c ι τ ο ν Καρύcτιοc ὁ Περγαμηνὸc ἐν τῶι περὶ διδαcκαλιῶν (fr. 17 M., FHG IV p. 359) εὑρεθῆναί φηcιν ὑπὸ πρώτου Ἀλέξιδοc, ἐκλαθόμενοc ὅτι Ἐπίχαρμοc ἐν Ἐλπίδι ἢ Πλούτωι παρὰ πότον αὐτὸν εἰcήγαγεν οὑτωcὶ λέγων· ἀλλ' — βίον. sequitur fr. 32

**32** (35)

cυνδειπνέων τῶι λῶντι, καλέcαι δεῖ μόνον,
καὶ τῶι γα μηδὲ λῶντι, κωὐδὲν δεῖ καλεῖν.
τηνεῖ δὲ χαρίειc τ' εἰμὶ καὶ ποιέω πολὺν
γέλωτα καὶ τὸν ἱcτιῶντ' ἐπαινέω·
καἴ κα τιc ἀντίον ⟨τι⟩ λῆι τήνωι λέγειν,
τήνωι κυδάζομαί τε κἀπ' ὧν ἠχθόμαν.
κἤπειτα πολλὰ καταφαγών, πόλλ' ἐμπιὼν
ἄπειμι. λύχνον δ' οὐχ ὁ παῖc μοι cυμφέρει,

ἕρπω δ' ὀλιcθράζων τε καὶ κατὰ cκότοc
ἐρῆμοc· αἴ κα δ' ἐντύχω τοῖc περιπόλοιc,
τοῦθ' οἷον ἀγαθὸν ἐπιλέγω τοῖc θεοῖc, ὅτι
οὐ λῶντι πλεῖον ἀλλὰ μαcτιγῶντί με.
ἐπεὶ δέ χ' ἵκω οἴκαδιc καταφθαρείc,
ἄcτρωτοc εὕδω· καὶ τὰ μὲν πρᾶτ' οὐ κοῶ,
ἄc κά μ' ἄκρατοc οἶνοc ἀμφέπηι φρέναc

Athen. VI p. 235 F (post fr. 31) καὶ (δι' A, corr. Meineke) α ὐ τ ὸ ν π ο ι ε ῖ τ ὸ ν π α ρ ά c ι τ ο ν λ έ γ ο ν τ α τ ο ι ά δ ε π ρ ὸ c τ ὸ ν π υ ν θ α ν ό μ ε ν ο ν· cυνδ. — φρέναc. καὶ ἄλλα δὲ τοιαῦτα ἐπιλέγει ὁ τοῦ Ἐπιχάρμου παράcιτοc

**33** (36)

Schol. (T) Hom. P 577 b εἰλαπιναcτήc: cύccιτοc ... οἱ δὲ παράcιτοc. τὸ δὲ ὄνομα τοῦ π α ρ α c ί τ ο υ εἴρηται (πρῶτον εἴρ. Wil. ap. Maass in ed. Schol. II [1888] p. 235[6]) ἐν Ἐλπίδι παρ' Ἐπιχάρμωι. Poll. VI 35 ἐπὶ μέντοι τοῦ παραcιτεῖν κατὰ λιχνείαν ἢ κολακείαν πρῶτοc Ἐπίχαρμοc τὸν παράcιτον ὠνόμαcεν, εἶτα Ἄλεξιc (Παράc. test. ii). Ὅμηροc δ' αὐτὸν εἰλαπιναcτὴν λέγει· (P 577)

**34** (37)

ἐκάλεcε γάρ τυ τιc
ἐπ' αἶκλον ἀέκων· τὺ δὲ ἑκὼν ὤιχεο τρέχων

Athen. IV p. 139 B αἶκλον δὲ (τὸ δὲ ἄικλον A, ὅτι ἄ. CE, corr. Kaibel) ὑπὸ μὲν τῶν ἄλλων Δωριέων (ὑπὸ τ. Δ. CE) καλεῖται τὸ (om. A) δεῖπνον (defic. CE). Ἐπίχαρμος γοῦν ἐν Ἐλπίδι φηcίν· ἐκάλεcε —— τρέχων. τὰ αὐτὰ εἴρηκε καὶ ἐν Περιάλλωι (fr. 109)

## Δ.2. Επίχαρμος απ. 135

Anon. in Plat. Theaet. col. 71,12 (post Diels-Schubart BKT II [1905] p. 47 ed. G. Bastianini et D. Sedley, CPF III [1995] p. 458–460) ad p. 152 E (supra test. 3) Ἐπίχαρμος, ὁ[μιλή]cαc τοῖc Πυθα[γορείοιc,] ἄλλα τ[έ] τινα εὖ [ἐδίδαc]κεν δ[ρά]ματ[α, καὶ τὸ περὶ τ]οῦ αὐξομ[ένου, ὃ] λ[όγωι] ἐφοδ[ικῶι καὶ πιc]τ[ῶι ἐ]πέρα[ινε. οὐ μὴν] ἀλλ' ὡc ἄ[φοδοι γίνον]ται πρόcο[δοί τε ἐναρ]γέc, εἰ οὐχ [ἑcτώc τιc] γί[νε]ται μ[είζων ἢ ἐ]λ[ά]ττων· ε[ἰ δὲ τοῦτο,] οὐcίαι ἄλλ[οτε ἄλλαι] γίνονται [διὰ τὴν cυν]εχῆ ῥύcιν. κα[ὶ ἐκ]ωμώιδηcεν αὐτὸ ἐπὶ τοῦ ἀπαιτουμένου cυμβολὰc καὶ [ἀ]ρνουμένου τοῦ αὐτοῦ εἶναι διὰ τὸ τὰ μὲν προcγεγενῆcθαι, τὰ δὲ ἀπεληλυθέναι, ἐπεὶ δὲ ὁ ἀπαιτῶν ἐτ[ύ]πτηcεν αὐτὸν καὶ ἐνεκαλεῖτο, πάλιν κ[ἀ]κείνου [φά]cκοντοc [ἄλλ]ο μὲ[ν] ε[ἶ]ναι τὸν τ[ετυ]πτηκότα, ἕτερο[ν δὲ] τὸν ἐγκαλούμ[ε]νον. Plut. De sera num. vind. 15 p. 559 AB ταῦτά γε τοῖc Ἐπιχαρμείοιc ἔοικεν, ἐξ ὧν ὁ αὐξόμενοc ἀνέφυ τοῖc cοφιcταῖc λόγοc, ὁ γὰρ λαβὼν πάλαι τὸ χρέοc νῦν οὐκ ὀφείλει, γεγονὼc ἕτεροc, ὅ τε (δὲ codd., corr. Pohlenz) κληθεὶc ἐπὶ δεῖπνον ἐχθὲc ἄκλητοc ἥκει τήμερον· ἄλλοc γάρ ἐcτι. Id. comm. not. 44 p. 1083 A ὁ τοίνυν περὶ αὐξήcεωc λόγοc ἐcτὶ μὲν ἀρχαῖοc· ἠρώτηται γάρ, ὥc φηcι Χρύcιπποc (SVF II 762 p. 214,20 Arn.), ὑπ' Ἐπιχάρμου

## Δ.3. Επίχαρμος απ. 275

ἀλλ' ἀεί τοι θεοὶ παρῆcαν χὐπέλιπον οὐ πώποκα,
τάδε δ' ἀεὶ πάρεcθ' ὁμοῖα διά τε τῶν αὐτῶν ἀεί.
(B.) ἀλλὰ λέγεται μὰν Χάοc πρᾶτον γενέcθαι τῶν θεῶν.
(A.) πῶc δέ κα, μὴ ἔχον γ' ἀπὸ τίνοc μηδ' ἐc ὅτι πρᾶτον μόλοι;
(B.) οὐκ ἄρ' ἔμολεν πρᾶτον οὐδέν; (A.) οὐδὲ μὰ Δία δεύτερον
τῶνδέ γ' ὧν ἁμὲc νυν ὧδε λέγομεc, ἀλλ' ἀεὶ τάδ' ἦc

## Δ.4. Επίχαρμος απ. 277

(A.) ἆρ' ἔcτιν αὔληcίc τι πρᾶγμα; (B.) πάνυ μὲν οὖν.
(A.) ἄνθρωποc οὖν αὔληcίc ἐcτιν; (B.) οὐδαμῶc.
(A.) φέρ' ἴδω, τί δ' αὐλητάc; τίc εἶμέν τοι δοκεῖ;
ἄνθρωποc, ἢ οὐ γάρ; (B.) πάνυ μὲν οὖν. (A.) οὐκ οὖν δοκεῖc
οὕτωc ἔχειν ⟨κα⟩ καὶ περὶ τἀγαθοῦ; τὸ μὲν
ἀγαθὸν τὸ πρᾶγμ' εἶμεν καθ' αὔθ'· ὅcτιc δέ κα
εἰδῆι μαθὼν τῆν', ἀγαθὸc ἤδη γίγνεται.
ὥcπερ γάρ ἐcτ' αὔληcιν αὐλητὰc μαθὼν
ἢ ὄρχηcιν ὀρχηcτάc τιc ἢ πλοκεὺc πλοκάν,
ἢ πᾶν γ' ὁμοίωc τῶν τοιούτων ὅτι τὺ λῆιc,
οὐκ αὐτὸc εἴη κα τέχνα, τεχνικόc γα μάν

**Δ.5. Επίχαρμος (;) απ. 295 (ή ίσως Δεινόλοχος, *Ιατρός*):**

Fr. 1 ]ο̣βε[
αὖτις ἐνιαυτὸς διότι ἐν αὐτὸς αὐτῶι πάν[τ' ἔχει.
τεccάρων δὴ δεῖ λαβεῖν ὡρᾶν τριμήνων λ̣[όγον, ⏑ –
ὁ νοcέων νοcεῖ τις ἢ ὅτι. πολλάκις γὰρ τυγχ[άνει
κὰτ τὰc ἁλικίαc ἑκάcταc καὶ τὰc ὥραc ταὶ ν[όcοι
cυμπίτνουcαι. τοῦτο δή 'cτι χαλεπόν, αἴ κα̣ τ̣υ̣γ[χάνηι
παιδίωι χειμῶνοc ὥραν cυμπετοῦcά τ̣ι̣c̣ ν̣[όcοc.
ἔcτι γὰρ χειμ̣. . . . .[. . .]μου παιδί̣ο̣υ̣ π̣ρ̣ο̣[
. . . .].κατ̣[ ἱ]π̣π̣όφυλον ἀπ.[
].υ̣ντα γνὺξ α.[
]υ̣ντι λελ. .ν[
]βωι χαλεπ[
]β[λ]αcτανουcῶν.[
]έρει τόν τε χ̣. .[
].ετιγα̣.τ̣ο. .[
].πέφλοιδεπ̣[.]ιτ[. .]ε̣δει κρατε̣ῖ̣ν̣[
]c̣ τοῦτο θ̣ε̣ρ̣. .ἔ̣π̣τ̣' ἐν τᾶι φύcει
].τε φλέβι' οὔρηcιν δὲ μή
]. .[.]λλον ε̣ἶ̣μεν εκ̣[. . .]ουδ.[]. .[
]λ̣αια ταῖ̣c̣ ἀ̣κρα[cίαιc
].τι δυcχερέcτατον νο̣[
]α τυγχάνει χαυαίν[εται
]ι[]τομενοc ἤδη δυcπ.[
]μαcθ[] ὡρᾶν ἐ[παρ]κέcαι̣c̣ τ̣ί̣ κα καὶ δύcπνοοc
]. φυλλορροο̣ῦ̣cί τε πάντα καθάπερ[

– – – – – – –

Fr. 2 τὸ θέροc ἀ̣κ̣μάζει τε[
καὶ τὸ τῶν ἐνδ. . .[

**Δ.6. Επίχαρμος, *Μεγαρίς* απ. 79–80**

**79** (90)

– ⏑ – ⏑̄ – ⏑ – τὰc πλευρὰc οἱόνπερ βατίc,
τὰν δ' ὀπιcθίαν † ἐχηcθ' ἀτενὲc οἱόνπερ βάτοc,
τὰν δὲ κεφαλὰν ὀcτέων οἱόνπερ ἔλαφοc, οὐ βατίc,
τὰν δὲ λαπάραν cκορπίοc † παῖc ἐπιθαλάττιοc τεου

**80** (91)

εὔυμνοc καὶ μουcικὰν ἔχουcα πᾶcαν, φιλόλυροc

### Δ.7. Επίχαρμος, *Αρπαγαί* απ. 9

ὥσπεραὶ πονηραὶ μάντιες,
αἵ θ' ὑπονέμονται γυναῖκας μωρὰς ἆμ πεντόγκιον
ἀργύριον, ἄλλαι δὲ λίτραν, ταὶ δ' ἀν' ἡμιλίτριον
δεχόμεναι, καὶ πάντα γινώσκοντι † τῷ λόγῳ

### Δ.8. Επίχαρμος, *Επίνικος* ή *Επινίκιος*

**Ἐπίνικος** vel **Ἐπινίκιος**

**i.** test. 36,16 Ἐπινικ[

**ii.** Heph. ench. 8,2 (π. ἀναπαιστικοῦ, codd. ADI) p. 24,20 Consbr. ἐπισημότατον δὲ ἐν αὐτῶι ἐστι τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβήν ... κέκληται δὲ Ἀριστοφάνειον οὐκ Ἀριστοφάνους αὐτὸ εὑρόντος πρώτου, ἐπεὶ καὶ παρὰ Κρατίνωι ἐστί· (fr. 235) ... ἀλλὰ διὰ τὸ τὸν Ἀριστοφάνην πολλῶι αὐτῶι κεχρῆσθαι (test. 101)· καὶ πρὸ Κρατίνου παρ' Ἐπιχάρμωι, ὃς καὶ ὅλα δύο (δύο om. D) δράματα τούτωι τῶι μέτρωι γέγραφε, τούς τε Χορεύοντας (p. 99) καὶ τὸν Ἐπίνικον (-κιον DI)

## ΕΠΙΛΟΓΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑΣ


U. Albini, «Le commedie di Epicarmo», *Sileno* 10 (1984) 13–21.

O. Álvarez Salas, «I frammenti 'filosofici' di Epicarmo: una rivisitazione critica», *SIFC* 100 (2007) 23–72.

O. Álvarez Salas, «El κωμωιδεῖν de Epicarmo: una interacción escénica con la filosofía magno-greca», *Nova Tellus* Suppl. 2 (2009) 57–94.

L. Berk, *Epicharmus*, Groningen 1964.

L. Breitholz, *Die dorische Farce im griechischen Mutterland vor dem 5. Jahrhundert. Hypothese oder Realität?*, Stockholm-Göteborg-Uppsala 1960.

J. C. Carrière, *Le carnaval et la politique. Une introduction à la comédie grecque suivie d'un choix de fragments*, Paris 1979.

A. C. Cassio, «Two studies on Epicharmus and his influence», *Harvard Studies in Classical Philology* 89 (1985) 37–51.

A. C. Cassio, «The Language of Doric Comedy», στο A. Willi (επιμ.), *The Language of Greek Comedy*, Oxford-New York 2002, 51–83.

E. Csapo, «Riding the Phallus for Dionysus: Iconology, Ritual, and Gender-Role De/Construction», *Phoenix* 51 (1997) 253–295.

E. Csapo & M. C. Miller (επιμ.), *The Origins of Theater in Ancient Greece and Beyond. From Ritual to Drama*, Cambridge 2007.

E. Csapo & W. J. Slater, *The Context of Ancient Drama*, Ann Arbor 1994.

P. Ghiron-Bistagne, *Recherches sur les acteurs dans la Grèce antique*, Paris 1976.

G. Giangrande, «The Origin of the Attic Comedy», *Eranos* 61 (1963) 1–24.

M. Gigante, «Testimonianze di Filodemo su Maison», *CErc* 1 (1971) 65–68.

E. W. Handley, «Comedy», στο P. E. Easterling & B.M.W. Knox (επιμ.), *The Cambridge History of Classical Literature*, τόμ. I: *Greek Literature*, Cambridge 1985, 355–425.

H. Herter, *Vom dionysischen Tanz zum komischen Spiel. Die Anfänge der attischen Komödie*, Iserlohn 1947.

G. Kaibel, *Comicorum Graecorum Fragmenta*, τόμ. I.1: *Doriensium Comoedia, Mimi, Phlyaces*, Berlin 1899.

R. Kassel & C. Austin, *Poetae Comici Graeci*, τόμ. I–VIII, Berlin-New York 1983–2001.
R. Kerkhof, *Dorische Posse, Epicharm und Attische Komödie*, München-Leipzig 2001.
I. M. Konstantakos, «My Kids for Sale: The Megarian's Scene in Aristophanes' *Acharnians* (729–835) and Megarian Comedy», *Λογεῖον* 2 (2012) 121–166.
I. M. Konstantakos, «Machon's Alexandrian Comedy and Earlier Comic Tradition», *Aevum* 89, (2015) 13–36.
I. M. Konstantakos, «On the Early History of the Braggart Soldier, Part One: Archilochus and Epicharmus», *Λογεῖον* 5 (2015).
A. Körte, «Komödie (griechische)», *Real-Encyclopädie* XI 1 (1921) 1207–1275.
A. Körte, «Maison», *Real-Encyclopädie* XIV 1 (1928) 609.
O. Moessner, *Die Mythologie in der dorischen und altattischen Komödie*, Diss., Erlangen 1907.
C. T. Murphy, «Popular Comedy in Aristophanes», *American Journal of Philology* 93 (1972) 169–189.
G. Norwood, *Greek Comedy*, London 1931.
A. Olivieri, *Frammenti della commedia e del mimo nella Sicilia e nella Magna Grecia*, τόμ. I–II, Napoli 1946-1947².
S. D. Olson, *Broken Laughter. Select Fragments of Greek Comedy*, Oxford-New York 2007.
L. Piccirilli, *Μεγαρικά: Testimonianze e frammenti*, Pisa 1975.
A. Pickard-Cambridge, *Dithyramb, Tragedy and Comedy*, επιμ. T. B. L. Webster, Oxford 1962².
M. Pohlenz, «Die Entstehung der attischen Komödie», στο M. Pohlenz, *Kleine Schriften*, τόμ. II, Hildesheim 1965, 497–510.
L. Radermacher, *Zur Geschichte der griechischen Komödie. I. Zum Namen Φλύακες. II. Stoffgeschichtliches*, Wien-Leipzig 1924.
L. Radermacher, «Maison», *Wiener Studien* 54 (1936) 16–23.
K. J. Reckford, *Aristophanes' Old-and-New Comedy. Six Essays in Perspective*, Chapel Hill-London 1987.
L. Rodríguez-Noriega Guillén, *Epicarmo de Siracusa. Testimonios y fragmentos. Edición crítica bilingüe*, Oviedo 1996.
L. Rodríguez-Noriega Guillén, «On Epicharmus' literary and philosophic background», στο K. Bosher (επιμ.), *Theater Outside Athens: Drama in Greek Sicily and South Italy*, Cambridge 2012, 76–96.
L. E. Rossi, «Un nuovo papiro epicarmeo e il tipo del medico in commedia», *Atene e Roma* n.s. 22 (1977) 81–84.
K. S. Rothwell, Jr., *Nature, Culture, and the Origins of Greek Comedy. A Study of Animal Choruses*, Cambridge 2007.
C. F. Russo, *Aristophanes. An Author for the Stage*, London-New York 1994.
J. Rusten, «Who 'Invented' Comedy? The Ancient Candidates for the Origins of Comedy and the Visual Evidence», *American Journal of Philology* 127(2006) 37–66.
J. Rusten (επιμ.), *The Birth of Comedy. Texts, Documents, and Art from Athenian Comic Competitions, 486–280*, Baltimore 2011.
Γ. Μ. Σηφάκης, «Κωμικοὶ ὕμνοι καὶ ἰθύφαλλοι», στο *Φίλτρα. Τιμητικὸς τόμος Σ. Γ. Καψωμένου*, Θεσσαλονίκη 1975, 119–138.
Γ. Μ. Σηφάκης, *Μελέτες γιὰ τὸ ἀρχαῖο θέατρο*, Ηράκλειο 2007.
I. C. Storey, «Origins and Fifth-Century Comedy», στο G. W. Dobrov (επιμ.), *Brill's Companion to the Study of Greek Comedy*, Leiden-Boston 2010, 179–225.

W. Süss, *De personarum antiquae comoediae Atticae usu atque origine*, Diss., Bonn 1905.
G. Tedeschi, «Commedia attica e farsa dorica: il mestiere di far ridere», στο S. Daris & G. Tedeschi (επιμ.), *Memoria renovanda: Giornata di studi in memoria di Carlo Corbato*, Trieste 2007, 57–82.
E. G. Turner, «A Fragment of Epicharmus? (or 'Pseudoepicharmea'?). (With an Additional Note by E. W. Handley)», *Wiener Studien* 89 (1976) 48–60.
A. von Salis, *De Doriensium ludorum in comoedia Attica vestigiis*, Diss., Basel 1905.
A. Willi, *Sikelismos. Sprache, Literatur und Gesellschaft im griechischen Sizilien (8.–5. Jh. v. Chr.)*, Basel 2008.
A. Willi, «Challenging Authority: Epicharmus between Epic and Rhetoric», στο K. Bosher (επιμ.), *Theater Outside Athens: Drama in Greek Sicily and South Italy*, Cambridge 2012, 56–75.
A. Willi, «Epicharmus, the Pseudepicharmeia, and the Origins of Attic Drama», στο S. Chronopoulos & C. Orth (επιμ.), *Fragmente einer Geschichte der griechischen Komödie — Fragmentary History of Greek Comedy*, Heidelberg 2015, 109–145.
E. Wüst, «Epicharmos und die alte attische Komödie», *Rheinisches Museum* 93 (1950) 337–364.